Ἄλλος παρ' ἄλλου διαδοχαῖς πληρούμενοι·
Νικᾷ δ' ὁ πρῶτος καὶ τελευταῖος δραμών.
Τέκμαρ τοιοῦτον ξύμβολόν τε σοὶ λέγω
Ἀνδρὸς παραγγείλαντος ἐκ Τροίας ἐμοί.

ΧΟΡΟΣ.

Θεοῖς μὲν αὖθις, ὦ γύναι, προσεύξομαι.
Λόγους δ' ἀκοῦσαι τούσδε κἀποθαυμάσαι
Διηνεκῶς θέλοιμ' ἂν, ὡς λέγοις πάλιν.

ΚΛΥΤΑΙΜΝΗΣΤΡΑ.

Τροίαν Ἀχαιοὶ τῇδ' ἔχουσ' ἐν ἡμέρᾳ.
Οἶμαι βοὴν ἄμικτον ἐν πόλει πρέπειν.
Ὄξος τ' ἄλειφά τ' ἐγχέας ταὐτῷ κύτει
Διχοστατοῦντ' ἂν οὐ φίλως προσεννέποις·
Καὶ τῶν ἁλόντων καὶ κρατησάντων δίχα
Φθογγὰς ἀκούειν ἐστὶ συμφορᾶς διπλῆς.
Οἱ μὲν γὰρ ἀμφὶ σώμασιν πεπτωκότες
Ἀνδρῶν κασιγνήτων τε καὶ φυταλμίων,
Παῖδες γερόντων, οὐκέτ' ἐξ ἐλευθέρου
Δέρης ἀποιμώζουσι φιλτάτων μόρον.
Τοὺς δ' αὖτε νυκτίπλαγκτος ἐκ μάχης πόνος
Νῆστις πρὸς ἀρίστοισιν ὧν ἔχει πόλις
Τάσσει, πρὸς οὐδὲν ἐν μέρει τεκμήριον·
Ἀλλ' ὡς ἕκαστος ἔσπασεν τύχης πάλον,
Ἐν αἰχμαλώτοις Τρωϊκοῖς οἰκήμασιν
Ναίουσιν ἤδη, τῶν ὑπαιθρίων πάγων
Δρόσων τ' ἀπαλλαγέντες ὡς δυσδαίμονες
Ἀφύλακτον εὑδήσουσι πᾶσαν εὐφρόνην.
Εἰ δ' εὐσεβοῦσι τοὺς πολισσούχους θεοὺς
Τοὺς τῆς ἁλούσης γῆς θεῶν θ' ἱδρύματα,
Οὐκ ἂν γ' ἑλόντες αὖθις ἀνθάλοιεν ἄν.
Ἔρως δὲ μή τις πρότερον ἐμπίπτῃ στρατῷ
Ποθεῖν ἃ μὴ χρὴ, κέρδεσιν νικωμένους.

---

262. v. τοιοῦτο 264. (ΑΓΓ.), 265. (ΚΛΥΤ.), 267. (ΑΓΓ.) et 268. (ΚΛΥΤ.). 266. f. ὡς λέγεις, πάλιν. 269. f. ἄλειφάρ τ' — ἐκχέας 270. οὐ φίλω 278. νήστεις 282. νέουσιν — f. τῶν θ' 283. v. -έντες, — f. ὡς δ' εὐδαίμονες 287. MSS. αὖ θάνοιεν 288. (ἐμπίπτοι) 289. κορθεῖν